ΕΥΑΓΓΕΛΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ
ΚΑΙ ΜΕΤΑΦΡΑΣΗ

Κυριακή Ε΄ Ματθαίου *(Αγίων Αναργύρων)*

1 Ιουλίου 2018

Απόστολος – ΠΡΟΣ Α΄ ΚΟΡΙΝΘΙΟΥΣ ΙΒ΄ 27-31, ΙΓ΄ 1-8

Ἀδελφοί, ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες ἀπόστολοι; Μὴ πάντες προφῆται; Μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Μὴ πάντες γλώσσαις λαλοῦσι; Μὴ πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. Καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Απόστολος – Μετάφραση,
ΠΡΟΣ Α΄ ΚΟΡΙΝΘΙΟΥΣ ΙΒ΄ 27-31, ΙΓ΄ 1-8

Αδελφοί, εσείς όλοι μαζί αποτελείτε το σώμα του Χριστού, και είστε μέλη του, ο καθένας σας χωριστά. Γι΄ αυτό στην εκκλησία ο Θεός τοποθέτησε τον καθένα στην ορισμένη του θέση : πρώτα έρχονται οι απόστολοι, σε δεύτερη θέση οι προφήτες, σε τρίτη οι διδάσκαλοι, και ακολουθούν οι θαυματουργοί, οι θεραπευτές, αυτοί που παραστέκονται στις ανάγκες, οι διαχειριστές, όσοι λαλούν διάφορα είδη γλωσσών. Δεν είναι όλοι απόστολοι ούτε όλοι προφήτες ούτε όλοι διδάσκαλοι. Δεν είναι όλοι θαυματουργοί ούτε όλοι θεραπευτές ούτε όλοι λαλούν γλώσσες κι ούτε όλοι ξέρουν πώς να τις εξηγούν. Ο ζήλος σας, μάλιστα, πρέπει να στρέφεται προς τα σημαντικότερα χαρίσματα. Σας δείχνω κι έναν πολύ ανώτερο ακόμα δρόμο : Αν μπορώ να λαλώ όλες τις γλώσσες των ανθρώπων, ακόμα και των αγγέλων, αλλά δεν έχω αγάπη για τους άλλους, οι λόγοι μου ακούγονται σαν ήχος χάλκινης καμπάνας ή σαν κυμβάλου αλαλαγμός. Κι αν έχω της προφητείας το χάρισμα κι όλα κατέχω τα μυστήρια κι όλη τη γνώση, κι αν έχω ακόμα όλη την πίστη, έτσι που να μετακινώ βουνά, αλλά δεν έχω αγάπη, είμαι ένα τίποτα. Κι αν ακόμα μοιράσω στους φτωχούς όλα μου τα υπάρχοντα, κι αν παραδώσω στη φωτιά το σώμα μου για να καεί, αλλά δεν έχω αγάπη, σε τίποτα δεν μ΄ ωφελεί. Εκείνος που αγαπάει έχει μακροθυμία, έχει και καλοσύνη· εκείνος που αγαπάει δεν ζηλοφθονεί· εκείνος που αγαπάει δεν κομπάζει ούτε περηφανεύεται· είναι ευπρεπής, δεν είναι εγωιστής ούτε ευερέθιστος· ξεχνάει το κακό που του έχουν κάνει. Δεν χαίρεται για το στραβό που γίνεται, αλλά μετέχει στη χαρά για το σωστό. Εκείνος που αγαπάει, όλα τα ανέχεται· σε όλα εμπιστεύεται, για όλα ελπίζει, όλα τα υπομένει. Ποτέ η αγάπη δεν θα πάψει να υπάρχει.

Ευαγγέλιο - ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ Η’ 28-34, Θ’ 1

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντι τῷ Ἰησοῦ εἰς τὴν χώραν τῶν Γεργεσηνῶν ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. Καὶ ἰδοὺ ἔκραξαν λέγοντες· τί ἡμῖν καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; Ἦν δὲ μακρὰν ἀπ᾽ αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν λέγοντες· εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ εἶπεν αὐτοῖς· ὑπάγετε. Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων· καὶ ἰδοὺ ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων. Καὶ ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ, καὶ ἰδόντες αὐτὸν παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν. Καὶ ἐμβὰς εἰς πλοῖον διεπέρασε καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν .

Ευαγγέλιο – Μετάφραση, ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ Η’ 28-34, Θ’ 1

Εκείνο τον καιρό, όταν ήλθε ο Ιησούς στην περιοχή των Γεργεσηνών, τον συνάντησαν δύο δαιμονισμένοι που έρχονταν από τα μνήματα, τόσο φοβεροί, που κανένας δεν τολμούσε να περάσει από κείνο το δρόμο. Και με κραυγές του έλεγαν: «Τι δουλειά έχεις εσύ μ’ εμάς, Υιέ του Θεού; Ήρθες εδώ να μας βασανίσεις πριν την ώρα μας;» Μακριά απ’ αυτούς έβοσκε ένα μεγάλο κοπάδι χοίρων. Και οι δαίμονες τον παρακαλούσαν λέγοντας: «Αν είναι να μας διώξεις, άφησέ μας να πάμε στο κοπάδι των χοίρων». Κι εκείνος τους είπε: «Πηγαίνετε». Αυτοί βγήκαν και πήγαν στο κοπάδι των χοίρων. Και όλο το κοπάδι όρμησε και γκρεμίστηκε στη λίμνη και πνίγηκαν μέσα στα νερά. Οι βοσκοί έφυγαν, πήγαν στην πόλη και ανάγγειλαν όλα τα συμβάντα και ό,τι έγινε με τους δαιμονισμένους. Βγήκε τότε όλη η πόλη να συναντήσει τον Ιησού, κι όταν τον είδαν, τον παρακάλεσαν να φύγει από την περιοχή τους. Ο Ιησούς επιβιβάστηκε στο πλοίο, διέσχισε τη λίμνη και ήρθε στην πόλη του.

1 Ιουλίου 2018, Έκδοση Ιερού Ναού Παναγίας Παλουριώτισσας
Διεύθυνση: Τ.Θ. 29115, 1621 Λευκωσία
Πηγή : Η Καινή Διαθήκη, Έκδοση Ιεράς Συνόδου της Εκκλησίας Κύπρου
Υπεύθυνος: Πρωτοπρεσβύτερος Μιχαήλ Μαλιάππης